A καὶ ἡδονὴ οἰκεία, ὥσπερ καὶ ἔργον· ἡ γὰρ κατὰ τὴν ἐνέργειαν. καὶ ἐφ' ἑκάστῳ δὲ θεωροῦντι, τοῦτ' ἂν φανείη· ἑτέρα γὰρ ἵππου ἡδονὴ καὶ κυνὸς καὶ ἀνθρώπου, καθάπερ Ἡράκλειτός φησιν, ὄνον σύρματα ἂν ἑλέσθαι μᾶλλον ἢ χρυσόν· ἥδιον γὰρ χρυσοῦ τροφὴ ὄνοις. αἱ μὲν οὖν τῶν ἑτέρων τῷ εἴδει, διαφέρουσιν εἴδει. τὰς δὲ τῶν αὐτῶν, ἀδιαφόρους εὔλογον εἶναι. διαλλάττουσι δὲ οὐ μικρὸν ἐπί γε τῶν ἀνθρώπων· τὰ γὰρ
B αὐτὰ, τῶν μὲν λυπεῖ· τῶν δὲ, τέρπει· καὶ τοῖς μὲν, λυπηρὰ καὶ μισητά ἐστι· τοῖς δὲ, ἡδέα καὶ φιλητά. καὶ ἐπὶ γλυκέων δὲ τοῦτο συμβαίνει· οὐ γὰρ τὰ αὐτὰ τῷ πυρέττοντι δοκεῖ, καὶ τῷ ὑγιαίνοντι, οὐδὲ θερμὸν εἶναι τῷ ἀσθενεῖ καὶ τῷ εὐεκτικῷ· ὁμοίως δὲ καὶ ἐφ' ἑτέρων τοῦτο συμβαίνει. δοκεῖ δ' ἐν ἅπασι τοῖς τοιούτοις εἶναι τὸ φαινόμενον τῷ σπουδαίῳ. εἰ δὲ τοῦ-
C το καλῶς λέγεται, καθάπερ δοκεῖ, καὶ ἔστιν ἑκάστου μέτρον ἡ ἀρετὴ, καὶ ὁ ἀγαθὸς, ᾗ τοιοῦτος, καὶ ἡδοναὶ εἶεν ἂν αἱ τούτῳ φαινόμεναι· καὶ ἡδέα, οἷς οὗτος χαίρει. τὰ δὲ τούτῳ δυσχερῆ, εἴ τῳ φαίνεται ἡδέα, οὐδὲν θαυμαστόν· πολλαὶ γὰρ φθοραὶ καὶ λῦμαι ἀνθρώπων γίνονται· ἡδέα δ' οὐκ ἔστιν, ἀλλὰ τούτοις, καὶ οὕτω διακειμένοις. τὰς μὲν οὖν ὁμολογουμένως αἰσχρὰς, δῆλον ὡς οὐ φατέον ἡδονὰς εἶναι, πλὴν
D τοῖς διεφθαρμένοις. τῶν δ' ἐπιεικῶν δοκουσῶν εἶναι, ποίαν ἢ τίνα φατέον τοῦ ἀνθρώπου εἶναι; ἢ ἐκ τῶν ἐνεργειῶν δῆλον; ταύταις γὰρ ἕπονται αἱ ἡδοναί. εἴτ' οὖν μία ἐστὶν, εἴτε πλείους, αἱ τοῦ τελείου καὶ μακαρίου ἀνδρὸς αἱ ταύτας τελειοῦσαι ἡδοναὶ, κυρίως λέγοιντ' ἂν ἀνθρώπου ἡδοναὶ εἶναι· αἱ δὲ λοιπαὶ, δευτέρως καὶ πολλοστῶς, ὥσπερ αἱ ἐνέργειαι.

Κεφάλαιον ς.

E Εἰρημένων δὲ τῶν περὶ τὰς ἀρετάς τε καὶ φιλίας καὶ ἡδονὰς, λοιπὸν περὶ εὐδαιμονίας τύπῳ διελθεῖν, ἐπειδὴ τέλος αὐτὴν τίθεμεν τῶν ἀνθρωπίνων. ἀναλαβοῦσι δὴ τὰ προειρημένα, συντομώτερος ἂν εἴη ὁ λόγος. εἴπομεν δ', ὅτι οὐκ ἔστιν ἕξις· καὶ γὰρ τῷ καθεύδοντι διὰ βίου ὑπάρχοι ἂν, φυτοῦ ζῶντι βίον, καὶ τῷ δυστυχοῦντι τὰ μέγι-
F στα· εἰ δὴ ταῦτα μὴ ἀρέσκει, ἀλλὰ μᾶλλον εἰς ἐνέργειάν τινα θετέον, καθάπερ ἐν τοῖς πρότερον εἴρηται· τῶν δ' ἐνεργειῶν, αἱ μὲν, εἰσὶν ἀναγκαῖαι καὶ δι' ἕτερα αἱρεταί·

propria voluptas, quemadmodum etiam opus videtur: ea enim est quæ in operatione existit. id in vnoquoque consideranti ita esse apparebit. equi siquidem, & canis, & hominis voluptas diuersa est. Quemadmodum Heraclitus inquit, asinos stramentitias paleas magis quàm aurum esse electuros: quippe cùm asinis pabulum auro iucundius sit. Ac voluptates quidem eorum quæ specie diuersa sunt, specie differunt: quæ sunt eorundem, indifferentes esse consentaneum est. in hominibus tamē non parum variant. eadem enim alios dolore, alios oblectatione afficiunt, quibusdam molesta & odiosa, iucunda & amabilia nonnullis sunt, in dulcibus quoque idem euenit, quippe cùm non eadem febricitanti, & sano esse huiusmodi videantur: neque calidum quippiam imbecillo, & ei qui bono habitu præditus sit. similiter in aliis etiam cōtingit. Videtur autem in omnibus similibus id esse quod probo viro apparet. Quòd si hoc rectè dicitur, quemadmodum videtur, & est: & vniuscuiusque mensura est virtus, & bonus vir, quatenus est talis: voluptates quoque erūt quæ huic videntur, & iucunda ea quibus hic oblectatur. Si cui tamen ea videntur iucunda quæ huic sunt molesta, nihil mirum esse debet: multæ etenim corruptelæ hominum, & labes contingunt. non sunt nanque iucunda: sed his, atque ita affectis. Eas igitur quæ sine dubio turpes sunt, non esse dicendas voluptates nisi corruptis hominibus manifestum est. Ex iis verò quæ esse honestæ videntur, qualis, aut quęnam esse hominis dicenda est? an ex operationibus patet. has enim ipsæ voluptates sequuntur siue igitur vna, siue plures sint perfecti & beati viri operationes: quę has perficiunt voluptates, præcipuè hominis voluptates esse dicerentur: reliquæ autem secundo loco, & ex parte aliqua, non secus atque operationes.

CAPVT VI.

CVm dicta autem sint ea, quæ ad virtutes, & amicitias, & voluptates spectāt: reliquum est, vt de fœlicitate figura quadam disseramus, quoniam finem eam humanarum rerum esse statuimus. Si igitur antedicta repetamus, breuior nobis euadet oratio. Diximus eam non esse habitū. nam in eo inesset, qui per totam vitā dormiret, & plantæ vitam traduceret, maximísq. infortuniis afflictaretur. Quòd si hęc nō placent, sed magis in operationē quandam ipsa reponenda est, sicut in superioribus est dictū: ex operationibus autem aliæ sunt necessariæ, & ob alia expetendæ,